## 15 FEBRUARIE
## HARALAMBOS BOUSIA

# PARACLISUL SF.PREOT IACOB VALODIMOS DE LA VITSA ZAGORIEI



## PARACLISIERUL PE FEBRUARIE-GR


ΔΙΑ ΧΕΙΡΟΣ
2013

# Παρακλητικός Κανών
# Ὁσίου ΙΑΚΩΒΟΥ Βαλοδήμου

Δρ. Χαρ. Μπούσια
15 Φεβρουαρίου

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρμβ΄ (142) Ψαλμός καί τὸ Θεὸς Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Νεοφανέντα ἀσκητὴν τῆς Ἠπείρου, σεπτὸν Ἰάκωβον, ὑμνήσωμεν πάντες, ὡς Βίτσης ἐγκαλλώπισμα καὶ κλέος Μονῆς, Ἠλιοὺ περίδοξον, τὸν θεόθεν λαβόντα, χάριν προοράσεως καὶ θαυμάτων παντοίων, ἀναβοῶντες· Ὅσιε, πιστοὺς, ἐχθροῦ μανίας συντήρει ἀπήμονας.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι. Εἰ μὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ Σοῦ· Σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμὸς.

Ὁ Κανών, οὗ ἡ ἀκροστιχίς· *Ἰακώβου, ἐν Βίτσῃ Ὁσίου, λιταῖς σπεύδω. Χ.*

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ἰάκωβε, Ὅσιε ἀσκητά, νεόφωτον ἄστρον, Ζαγορίου καὶ νεαυγὲς, Μονῆς Ἠλιοὺ Προφήτου Βίτσης, λύχνε, παθῶν ἡμῶν ζόφον διάλυσον.

Ἀμάρυγμα πάμφωτον ἀρετῶν, Ἰάκωβε μάκαρ, ταπεινώσεως λαμπδὼν, καὶ ἄστρον ἀσκήσεως συντόνου, ἡμῶν ὁδοὺς σαῖς εὐχαῖς καταφώτισον.

Κινήσεις κοπάζων τὰς σαρκικὰς, ἡμῶν μὴ ἐλλείπῃς, ἱκεσίαις σου πρὸς Θεόν, Ἰάκωβε, κλέϊσμα Ἠπείρου, ὁ συγχορεύων Ἀγγέλων νῦν τάξεσι.

Θεοτοκίον.

Ὡς θείαν μερόπων καταφυγὴν, πιστῶς Σε ὑμνοῦντες, ὑπερύμνητε Μαριάμ, ἐν βίου ἀνάγκαις καὶ κινδύνοις, τῇ χάριτί Σου ἀεὶ καταφεύγομεν.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Βοηθὸς ἱκετῶν σου, καὶ ἀρωγὸς τάχιστος, ἐν ταῖς περιστάσεσι πέλων, μάκαρ Ἰάκωβε, ῥύου δεινῶν συμφορῶν, τοὺς σὲ ὑμνοῦντας ὡς ῥεῖθρον, χάριτος ἀστείρευτον, Πάτερ πανόσιε.

Ὁδοδείκτης γενοῦ μοι, πρὸς οὐρανῶν δώματα, ὁ οὐρανοδρόμον βάδισας, τρίβον, Ἰάκωβε, ἐν τῇ πανσέπτῳ Μονῇ, τοῦ Ἠλιοὺ τοῦ Προφήτου, ῥείθροις τῶν δακρύων σου, ἣν καθηγίασας.

Ὑπερεύχου τῶν πίστει, πόνους τοὺς σούς, Ὅσιε, ἀσκητά, ὑμνούντων πρὸς κτῆσιν, τῆς

τελειώσεως, ἐν τῷ Χριστῷ Ἰησοῦ, σκληραγωγίας ἀκρότης, Ἱερεῦ, Ἰάκωβε, πνευματοφόρητε.

Θεοτοκίον.

Ἐφορῶσα μὴ παύσῃ, τοὺς Σοὺς θερμοὺς πρόσφυγας, Κεχαριτωμένη
Παρθένε, Θεογεννήτρια, τοῦ Ἰακώβου λιταῖς, τοῦ ἐν τῇ Βίτσῃ ἀρτίως, ἐνασκήσει λάμψαντος, ἄστρον ὡς πάμφωτον.

Διάσωσον, ἀπὸ κινδύνων, Ἰάκωβε, σοὺς ἱκέτας, ὁ ἐκ νάρκης διασωθεὶς Θεοῦ ἄρτι χάριτι, δυνάμει εὐχῶν σου, κοσμῆτορ Βίτσης.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Μονῆς Ἡλιοὺ πνευματοφόρε ἔνοικε, Ἠπείρου φανὲ νεόφωτε καὶ σέμνωμα, τιμαλφὲς ἀσκήσεως, ὁ ἐμπρέψας ἁπλότητι τρόπων σου, ὑπὲρ ἡμῶν δυσώπει ἐκτενῶς, Θεόν, Ὃν ἠγάπησας, Ἰάκωβε.

ᾨδὴ δ'. Εἰσακήκοα, Κύριε.

Νεοπύρσευτον αὔγασμα, Βίτσης, σκοτομήνην ἡμῶν, Ἰάκωβε, τῆς χαμαιζηλίας σκέδασον, ἀπαθείας φάρε τηλαυγέστατε.

Βοηθὸς μοι, Ἰάκωβε, ἴσθι καὶ προστάτης ἐν βίου κλύδωσιν, ὁ παρὰ Θεοῦ βοήθειαν, εἰληφὼς δειναῖς ἐν περιστάσεσι.

Ἴθυνόν με πρὸς θέωσιν, σὲ τὸν ἀνυμνοῦντα λαμπρῶς, Ἰάκωβε, ὁδηγὸν ὡς ἀπλανέστατον, Πάτερ, σῶν προσφύγων πρὸς τελείωσιν.

Θεοτοκίον.

Τοῦ Ὁσίου δεήσεσιν, Ἰακώβου ῥύου, Θεογεννήτρια, κατωδύνων περιστάσεων, τοὺς εἰλικρινῶς Σε μακαρίζοντας.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Σύντριμμα δεινοῦ, ἐποφθεὶς ἐχθροῦ, Ἰάκωβε, χάριν εἴληφας συντρίβειν τὰ αὐτοῦ, καθ' ἡμῶν βέλη κινούμενα, πανόσιε.

Ἤπειρον λαμπρὰν, τῶν ἀγώνων σου, Ἰάκωβε, ἄρτι ἔδειξας κονίστραν, ἀσκητά, ὁ Θεὸν τοῖς σὲ τιμῶσιν ἱλεούμενος.

Ὅσιε, Χριστοῦ, τῆς πτωχείας ὁ ὁμόζηλος, πέμψον πλοῦτόν σου ἐνθέρμων προσευχῶν, οὐρανόθεν τοῖς ἱκέταις σου, Ἰάκωβε.

Θεοτοκίον.

Σπεῦσον, ἀσκητά, βοηθῆσαι τοῖς ὑμνοῦσί σε, καὶ τὴν θήκην προσκυνοῦσιν εὐλαβῶς, τῶν λειψάνων σου, θειότατε Ἰάκωβε.

Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Ἰάκωβε, Ἠλιοὺ διάκοσμε, τῆς Μονῆς ἐν Βίτσῃ, νέων Ὁσίων, ἁγιασάντων τὴν Ἤπειρον ῥείθροις, δακρύων, βίον ἡμῶν διακόσμησον, θεοπειθέσι σου λιταῖς, ἀκλινῶς τῶν σπευδόντων σῇ χάριτι.

Ὁδήγησον, πρὸς ἐπάλξεις, Ὅσιε, ἀρετῶν τοὺς εὐλαβῶς σε ὑμνοῦντας, Ἀργυροκάστρου βλαστέ, ὁ ἰθύνας, τὰ βήματά σου πρὸς Ὄρος τό Ἅγιον, καὶ πρὸς τῆς Βίτσης τοὺς δρυμοὺς, τοὺς ἐνδρόσους ἐκεῖθεν, Ἰάκωβε.

Ὑπέρσοφε, ἀσκητά, Ἰάκωβε, Κωνσταντίνου Καλλινίκου σαγήνη, ὅνπερ ἐζώγρησεν εἰς εὐσεβείας, σωτηριώδους τὰ δίκτυα, πρέσβευε, τῷ ἀθλοθέτῃ Ἰησοῦ, ὑπὲρ πάντων τιμώντων τὴν μνήμην σου.

Θεοτοκίον.

Λαμπάδα μοι, μετανοίας ἄναψον, καὶ ἀξίωσον ἀκοῦσαι Υἱοῦ Σου, κἀμὲ φωνῆς τῆς εὐκταίας, Παρθένε· εἰς τὴν χαρὰν τοῦ Κυρίου σου εἴσελθε, δοῦλε πιστὲ καὶ ἀγαθέ, ἧς μετέχεις, Μητρόθεε Πάναγνε.

Διάσωσον, ἀπὸ κινδύνων, Ἰάκωβε, σοὺς ἱκέτας, ὁ ἐκ νάρκης διασωθεὶς Θεοῦ ἄρτι χάριτι, δυνάμει εὐχῶν σου, κοσμῆτορ Βίτσης.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.

Πνευματικὸν ὁδηγὸν ἀπλανέστατον, τῶν ἐν Ἠπείρῳ οἰκούντων, Ἰάκωβον, τὸν ταπεινὸν καὶ εὐθὺν καὶ ἁπλούστατον, ὡς Παρακλήτου κειμήλιον μέλψωμεν, καὶ ἀρωγὸν εὐσεβῶν ἐν στενώσεσι.

Οἱ Ἀναβαθμοί· τό α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν (Κεφ. στ' 17-21).

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ· καὶ ὄχλος πολὺς μαθητῶν Αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ, ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλήμ, καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι Αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν· καὶ οἱ ὀχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι Αὐτοῦ, ὅτι δύναμις παρ’ Αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτός, ἐπάρας τοὺς ὀφθαλμοὺς Αὐτοῦ εἰς τοὺς μαθητὰς Αὐτοῦ, ἔλεγεν· μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ Βασιλεία τοῦ Θεοῦ· μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε· μακάριοι οἱ

κλαίοντες νῦν, ὅτι γελάσετε· μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσιν, καὶ ἐκβάλωσιν τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

Δόξα. Ταῖς τοῦ Σοῦ Ὁσίου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι. Στ. *Ἐλέησόν με, ὁ Θεός...*

Ὅσιε Ἰάκωβε, τοῦ Ἠλιοὺ τοῦ Προφήτου, τῆς Μονῆς διάκοσμε, καὶ αὐτοῦ ὁμόζηλε, θείας πίστεως, ἀσκητῶν καύχημα, νεαυγῶν καὶ Βίτσης, Ζαγορίου ἐγκαλλώπισμα, φρούρει καὶ φύλαττε, οὐρανόθεν σοὶ τοὺς προσφεύγοντας, καὶ ὥσπερ διοράσεως, σκεῦος σε τιμῶντας πολύτιμον, τὸν διασωθέντα, ἐκ νάρκης ἐπεμβάσει θεϊκῇ, ἐν τοῖς ἐσχάτοις τοῖς ἔτεσι, Πάτερ θεοφρούρητε.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἰσχυρὸς ἐν ταῖς μάχαις, κατ' ἐχθρῶν ἀοράτων, σεπτὲ Ἰάκωβε, καὶ ὁρατῶν ἀρτίως, ὀφθεὶς τῶν πολεμίων, τὰς ὁρδὰς ἐθριάμβευσας, ὁ ἰσχυρὸς εὐσεβῶν, ἐν βίῳ παραστάτης.

Ταπεινώσεως κέρας, καὶ ἁπλότητος ἄστρον, φωτολαμπέστατον, Ἰάκωβε, ἱκέτας, τῆς

χάριτός σου δίδου, τὰ καλὰ καὶ συμφέροντα, αὐτοῖς ψυχῶν, ἀσκητὰ, πρεσβείαις σου ἐνθέρμοις.

Ἱκετῶν σου ἀκέστωρ, ἀνεδείχθης προστάτης, καὶ φύλαξ ἄγρυπνος, Ἰάκωβε, τῶν πίστει, λαβεῖν σὴν εὐλογίαν, προσιόντων σοι, Ὅσιε, ὁ ἐποφθεὶς ἀκρεμὼν, τῆς ἐλεημοσύνης.

Θεοτοκίον.

Ἰατρὸν τῶν σωμάτων, καὶ ψυχῶν ἡ τεκοῦσα, Θεογεννήτρια, μὴ παύσῃ δυσωποῦσα, Αὐτὸν ἡμῖν διδόναι, ἄμφω, Μῆτερ, ὑγίειαν, καὶ ῥώμην τὸν πτερνιστὴν, καὶ πλάνον θριαμβεῦσαι.

Ὠδὴ η'. Τὸν Βασιλέα.

Σπεῦσον ἱκέταις, σοῖς βοηθῆσαι ἐν δίναις, ταῖς τοῦ βίου, Ἰάκωβε μάκαρ, συμπαθείας λύχνε, νεολαμπὲς καμνόντων.

Σκηνῶν τοῦ πόλου, ὁ οἰκιστής, μὴ ἐλλείπῃς, ἱκετεύων Χριστὸν ὑπὲρ πάντων, ὕμνοις ἄσκησίν σου, Ἰάκωβε, τιμώντων.

Παθῶν σαρκίου, ἡμῶν κατεύνασον σάλον, προσκυνούντων σὴν θήκην λειψάνων, τῶν χαριτοβρύτων, Ἰάκωβε παμμάκαρ.

Θεοτοκίον.

Ἐξ ὕψους δόξης, τῆς Σῆς ἐπόπτευε, Μῆτερ, Ἰακώβου τιμῶντας τὴν μνήμην, καὶ ὑμνολογοῦντας, Σῶν θαυμασίων πλῆθος.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ὑμνοῦμεν τοὺς ἀγῶνας, ἐκ νεότητός σου, πρὸς ἀρετῆς οὕσπερ ἔτλης τελείωσιν, Ἠπειρωτῶν ὡραιότης, σεπτὲ Ἰάκωβε.

Δυνάμει τῶν εὐχῶν σου, ἀσθενείας πάσας, ἡμῶν θεράπευσον τάχος, Ἰάκωβε, ὁ ἀγρυπνῶν ἐν ἀσκήσει καὶ προσευχόμενος.

Ὡς κλέϊσμα Ὁσίων, νέων σε ὑμνοῦντες, τῶν Ζαγορίων ἐπόπτα, Ἰάκωβε, ἀπεκδεχόμεθα πίστει τὰς ἱκεσίας σου.

Θεοτοκίον.

Χριστοῦ τοῦ Ζωοδότου, Μῆτερ γλυκυτάτη, τοῦ Ἰακώβου ἐνθέρμοις δεήσεσι, πέμψον ἡμῖν τοῦ Υἱοῦ Σου τὸ μέγα ἔλεος.

Μεγαλυνάρια.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, Σέ μεγαλύνομεν.

Ἠλιοὺ Προφήτου σεπτῆς Μονῆς, ἐν τῇ Βίτσῃ, χαῖρε, ὁ οἰκήτωρ καὶ ἡ λαμπὰς, τῶν θαυματοβρύτων Ὁσίων Ἱερέων, Ἰάκωβε, χαρίτων θείων ὁ ἔμπλεως.

Χαῖρε, θεῖος κῆρυξ Λόγου Θεοῦ, σοῦ ἠγαπημένου, καὶ καρδίας σου ἐφετοῦ, ἐν

περιοικίδι κλεινῶν Ἰωαννίνων, καὶ Ζαγοροχωρίων, μάκαρ Ἰάκωβε.

Χαίροις, Θείᾳ χάριτι ὁ σωθεὶς, ἐκ τῆς νάρκης, Πάτερ, κοσμιότης Ἠπειρωτῶν, καὶ ἐκ πυροβόλων ἐχθρῶν σε σκοπευσάντων, ἐν δυσχειμέροις χρόνοις ἔθνους, Ἰάκωβε.

Χαίρει Ἀργυρόκαστρον καὶ σκιρτᾷ, σοῖς σεπτοῖς σπαργάνοις, ὁσιώτατε ἀσκητά, Ἄθωνος τὸ ὄρος τῇ σῇ ἱερωσύνῃ, Ἰάκωβε, καὶ Βίτσα βίῳ ἀμέμπτῳ σου.

Δεῦτε, ἀνυμνήσωμεν ἐν ᾠδαῖς, Ἠλιοὺ τῆς Μάνδρας, τοῦ Προφήτου τὸν οἰκιστήν, ἐν τοῖς Ζαγορίοις, Ἰάκωβον τὸν πάνυ, ὡς νεαυγῶν Ὁσίων, ἔμπνουν θησαύρισμα.

Τήρει τοὺς ἱκέτας σου ἀσινεῖς, ἐνεδρῶν ἐχθίστου, ὁ τῶν τούτου διαφυγὼν, χάριτι παγίδων τῇ θείᾳ ἐν ἐσχάτοις, τοῖς χρόνοις, θεοφόρε, Πάτερ Ἰάκωβε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Ἰησοῦν τῆς καρδίας ἐν ἀφελότητι, θερμῶς λατρεύοντα δεῦτε, Ὁσίων ὑπογραμμὸν, Ἱερέων, τὸν ἐν Βίτσῃ ἐνασκήσαντα, ὡς θαυμασίων φρυκτωρὸν, εὐφημήσωμεν λαμπρόν, Ἰάκωβον τὸν

θεόπνουν, ἡμῶν ἀνύστακτον πρέσβυν, καὶ ἀρωγὸν ἐν περιστάσεσι.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ᾿ ἣν ψάλλομεν τὸ ἑξῆς. Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.

Πάντας τοὺς ἐν πίστει ἀκλινεῖ, προσκυνοῦντας θήκην λειψάνων, χαριτοβρύτων δεινῶν, ἀπειράστους, Ὅσιε, συντήρει πάντοτε, καὶ ὁδήγει πρὸς θέωσιν, τοὺς ὁμολογοῦντας, ἔνθεόν σου ἄσκησιν, σεμνὴν ταπείνωσιν, πόθον Ἰησοῦ τῆς πτωχείας, καὶ τῶν σῶν, Ἰάκωβε, τρόπων, Βίτσης ἀντιλῆπτορ, τὴν ἁπλότητα.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Τρισσεῦον Κύριε Ἐλέησον Λιτῆς Ἁγίου Ὄρους.

Ὅσιε Ἰάκωβε, Βίτσης ὁ διάκοσμος πέμψον μοι τὴν χάριν σου.

Δίστιχον.

*Ἰάκωβε, καθαγίαζε λιταῖς σου*
*Χριστόδουλον, Ὅσιε, καὶ Χαραλάμπη.*

